ἵλαος πλάσσοι τὸν ἐμὸν τρόπον, ὄφρα τυπώσας
ἐντὸς ἐμὴν ψυχὴν ναὸν Ἔρωτος ἔχῃ.

## CXII

οὐκ ἐθέλω Χαρίδαμον· ὁ γὰρ καλὸς εἰς Δία λεύσσει
ὡς ἤδη τῷ θεῷ νέκταρ ⟨ἐν⟩οινοχοῶν.
οὐκ ἐθέλω· τί δέ μοι τὸν ἐπουρανίων βασιλῆα
ἄνταθλον νίκης τῆς ἐν ἔρωτι λαβεῖν;
ἀρκοῦμαι δ' ἣν μοῦνον ὁ παῖς ἀνιὼν ἐς Ὄλυμπον
ἐκ γῆς νίπτρα ποδῶν δάκρυα τἀμὰ λάβῃ,
μνημόσυνον στοργῆς· γλυκὺ δ' ὄμμασι νεῦμα διύγροις
δοίη καί τι φίλημ' ἁρπάσαι ἀκροθιγές.
τἄλλα δὲ πάντ' ἐχέτω Ζεὺς ὡς θέμις· εἰ δ' ἐθελήσει,
ἦ τάχα που κἠγὼ γεύσομαι ἀμβροσίας.

## CXIII

ζωροπότει, δύσερως, καί σου φλόγα τὰν φιλόπαιδα
κοιμάσει λάθας δωροδότας Βρόμιος.
ζωροπότει, καὶ πλῆρες ἀφυσσάμενος σκύφος οἴνας
ἔκκρουσον στυγερὰν ἐκ κραδίας ὀδύναν.

## CXIV

ὤνθρωποι, βωθεῖτε· τὸν ἐκ πελάγευς ἐπὶ γαῖαν
ἄρτι με πρωταπόπλουν ἴχνος ἐρειδόμενον